11a ⟨ἐρέω Δάφνης τὸν οἶτον·⟩
12 ἱερὸν γάρ ἐστι Φοίβου
13 κιθάρη δάφνη τρίπους τε.
⟨* * * * *
* * * * *⟩
17 τοῦ μὲν ἐκπέφευγα κέντρα
14 λαλέων ἔρωτα Φοίβου,
15 ἀνεμώλιον τὸν οἶστρον.
16 σαόφρων γὰρ ἐστ⟨έναξεν
16a θεὸν οὐ θέλουσα κούρη
b γαμέτην ἔχειν· ὁ δὲ Ζεύς
c ἐλέησ' ἄπωθ'⟩ ἀκούσας,
18 φύσεως δ' ἄμειψε μορφήν,
φυτὸν εὐθαλὲς δ' ἐπήχθη.
20 ὁ δὲ Φοῖβος †ἠὲ Φοῖβος†
κρατέειν κόρην νομίζων,
χλοερὸν δρέπων δὲ φύλλον
ἐδόκει τελεῖν Κυθήρην.
ἄγε, θυμέ, πῆι μέμηνας
25 μανίην μανεὶς ἀρίστην;
τὸ βέλος φέρε κράτυνον,
σκοπὸν ὡς βαλὼν ἀπέλθηις,
τὸ δὲ τόξον Ἀφροδίτης
ἄφες ὡς θεοὺς ἐνίκα.
30 τὸν Ἀνακρέοντα μιμοῦ,
τὸν ἀοίδιμον μελιστήν.